τῶσι θανάτοις, οἱ κατὰ τὸν εἰρημένον τρόπον μεταστάντες τοῦ ζῆν, ὅταν οἱ τὴν κυρείαν τοῦ θανάτου λαβόντες ἐπὶ τῆς ἰδίας, ἢ τῆς οἰκείας φυσικῆς ἰδιοτροπίας τύχωσιν ὄντες, ὑπὸ μηδενὸς καθυπερτερηθέντες, τὴν κάκωσιν καὶ ἐπιφανέστερον ποιῆσαι τὸ τέλος δυναμένων. βιαίοις δὲ καὶ ἐπισήμοις, ὅταν ἢ ἀμφότερα κυριεύσωσιν οἱ κακοποιοὶ τῶν ἀναιρετικῶν τόπων ἤτοι συνόντες, ἢ τετραγωνίζοντες, ἢ διαμηκίζοντες, ἢ καὶ ὁ ἕτερος αὐτῶν, ἢ καὶ ἀμφότεροι τὸν ☉, ἢ καὶ τὴν ☾. ἢ καὶ ἀμφότερα τὰ φῶτα κακωθῶσι, τῆς μὲν τοῦ θανάτου κακώσεως, ἀπὸ τῆς αὐτῶν συνελεύσεως συνισταμένης, τοῦ δὲ μεγέθους, ἀπὸ τῆς τῶν φώτων ἐπιμαρτυρήσεως, τῆς δὲ ποιότητος πάλιν, ἀπὸ τῆς τῶν λοιπῶν ἀστέρων ἐπιθεωρήσεως, καὶ τῶν ἐν οἷς οἱ κακοποιοὶ περιεχόντων ζῳδίων. ὁ μὲν γὰρ τοῦ ♄ τὸν ☉ παρὰ τὴν αἵρεσιν τετραγωνίσας, ἢ διαμηκίσας, ἐν μὲν τοῖς στερεοῖς, ποιεῖ τοὺς διὰ κατάληψιν ὄχλων ἢ ἀγχόνης, ἢ στραγγαλιαῖς ἀπολλυμένους ὁμοίως δὲ κἂν δυτικῆς τῆς ☾ ἐπιφερομένης, ἐν δὲ θηριώδεσι ζῳδίοις, ὑπὸ θηρίων διαφθειρομένους, κἂν ὁ τοῦ ♃ ἐπιμαρτυρήσῃ κακωμένος καὶ αὐτὸς ἐν δημοσίοις τόποις ἢ ἐπισήμοις ἡμέραις, θηριομαχοῦντας, ἀνθωροσκοπήσας δὲ ὁποτέρῳ τῶν φώτων, ἐν εἱρκταῖς ἀπολλυμένους. τῷ δὲ τοῦ ☿ συσχηματισθεὶς, καὶ μάλιστα περὶ τοὺς ἐν τῇ σφαίρᾳ ὄφεις, ἢ τὰ χερσαῖα τῶν ζῴων, ἀπὸ δακετῶν ἰοβόλων ἀποθνήσκοντας, ἀφροδίτης δὲ αὐτοῖς προσγινομένης, ὑπὸ φαρμακειῶν, καὶ γυναικείων ἐπιβουλῶν, ἐν παρθένῳ δὲ καὶ ἰχθύσιν, ἢ τοῖς καθύγροις ζῳδίοις τῆς ☾ συσχηματισθείσης, ὑποβρυχίους ἐν ὕδασιν ἀποπνιγομένους, περὶ τὴν ἀργὼ, καὶ ναυαγίοις περιπίπτοντας. ἐν δὲ τοῖς τροπικοῖς ☉ συνὼν, ἢ διαμηκίσας, ἢ ἀντὶ τοῦ ☉ τὸν τοῦ ♂, ὑπὸ συμπτώσεων καταλαμβανομένους, ἐὰν δὲ καὶ μεσουρανήσωσιν, ἀφ' ὕψους κατακρημνιζομένους. ὁ δὲ τοῦ ♂ τὸν ☉ παραίρεσιν ἢ τὴν ☾ τετράγωνος ἢ διάμετρος σταθεὶς, ἐν μὲν τοῖς ἀνθρωποειδέσι ζῳδίοις, ἐν στάσεσιν ἐμφυλίοις, ἢ ἀπὸ πολεμίων ποιεῖ σφαζομένους, ἢ αὐτόχειρας ἑαυτῶν γινομένους, διὰ γυναῖκας δὲ ἢ γυναικῶν φονευομένους, ἐπὰν καὶ ὁ τῆς ♀ αὐτὸν μαρτυρήσῃ, κἂν ὁ τοῦ ☿ δὲ αὐτῷ συσχηματισθῇ, ὑπὸ πειρατῶν ἢ λῃστηρίων, ἢ κακούργων ἀπολλυμένους. ἐπὶ δὲ τῶν μελοκοπουμένων, καὶ ἀτελῶν ζῳδίων, ἢ κατὰ τὸ γοργόνιον

τοῦ περσέως